ἁγιωτάτου καὶ ἀποστολικοῦ θρόνου τοῦ οἰκουμενικοῦ καὶ πάσης τῆς περὶ αὐτὸν ἱερᾶς συνόδου, καὶ ἀπὸ Ῥωσίας λεγάτους τῆς ἐκεῖθεν ἐκκλησίας, σὺν αὐτοῖς πάντα τὰ νενοθευμένα κατέρραξας δόγματα, δημοσίοις βίβλοις ἐγκρίνας τε καὶ κυρώσας τὰ τῆς ἀνατολικῆς ἐκκλησίας γνήσια διδάγματα· καὶ νῦν πᾶσι τοῖς χριστιανῶν παισὶν ὀρθοδόξοις ἐκκαλύπτων τὸν ἐγκεκρυμμένον ἰὸν τοῖς κεφαλαίοις ἐκείνοις, κοινῶς προκεῖσθαι ἐθέσπισας ἣν ἔχει δόξαν περὶ αὐτὰ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία, ἐφ' ᾧ ἔχει πανταχῇ τὰ τοῦ κυρίου πρόβατα διαγινώσκειν ὁποίων βρωμάτων ἀπέχεσθαι χρὴ καὶ ποίαις τισὶ νομαῖς ἀναμφιβόλως προσπελάζειν. Διὸ χάριτας τῷ θεῷ ἀποδιδόντες ἐπὶ τοῖς διὰ σοῦ παρ' αὐτοῦ οἰκονομισθεῖσιν ἡμῖν, ἐξ ὅλης ψυχῆς ἱκετεύομεν αὐτὸν τὴν παροῦσαν ζωὴν μακραίωνά τε καὶ εἰρηνικήν σοι δωρήσασθαι, τὸν τῆς ἡγεμονίας θρόνον μέχρι τέλους κοσμοῦντα ἐν τῇ αὐτοῦ χάριτι, ἐν τῇ μελλούσῃ ἐκ τῶν ἐπὶ γῆς τὰ οὐράνια μεταθέσθαι σε βασίλεια.

Οἱ ἀπὸ Κωνσταντινουπόλεως λεγᾶτοι καὶ ἔξαρχοι πατριαρχικοί,
ὁ πρώην Νικαίας Πορφύριος.
Μελέτιος Συρίγος ἱερομόναχος καὶ κῆρυξ τοῦ εὐαγγελίου
Καὶ ἀπὸ Ῥωσίας λεγᾶτοι,
Ἠσαΐας Τρόφιμος, ἡγούμενος τοῦ ἁγίου Νικολάου.
Ἰγνάτιος ὁ Ξενοβίκιος, ὁ τοῦ εὐαγγελίου κῆρυξ.
Ἰωσὴφ Κοινωνοβίκιος, ἡγούμενος τῶν ἁγίων Θεοφανίων.

Bibliothèque Mazarine : nº 1380 B. Cet exemplaire, qui est bien conservé et revêtu de sa reliure originale, provient du Couvent des Jacobins de la rue Saint-Honoré, à Paris. Au bas du titre, on lit aussi cet ex-libris : ἐκ τῶν τοῦ Χρυσάνθου ἱερομονάχου. 1683 (*sic*).

---

## 633

ASSERTIONES EX VNIVERSA THEOLOGIA SVB FÆLICISSIMIS AVSPICIIS ILLmi ET EXCELLmi PRINCIPIS D. ANTONII OTTHOBONI SSmi D. N. ALEXANDRI VIII EX GERMANO FRATRI NEPOTIS Generalis Pontificiorum Armorum Ducis, D. Marci Procuratoris, Equitis Perpetui etc.